# Πρὸς Θεσσαλονικεῖς Β

Παῦλος καὶ Σιλουανὸς[1] καὶ Τιμόθεος[2] τῇ ἐκκλησίᾳ Θεσσαλονικέων[3] ἐν 1
θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ Ἰησοῦ χριστῷ: χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ 2
θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ.

Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς 3
ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει[4] ἡ πίστις ὑμῶν, καὶ πλεονάζει[5] ἡ ἀγάπη
ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους: ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν 4
καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ
πίστεως ἐν πᾶσιν τοῖς διωγμοῖς[6] ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς
ἀνέχεσθε:[7] ἔνδειγμα[8] τῆς δικαίας κρίσεως τοῦ θεοῦ, εἰς τὸ 5
καταξιωθῆναι[9] ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε: 6
εἴπερ[10] δίκαιον παρὰ θεῷ ἀνταποδοῦναι[11] τοῖς θλίβουσιν[12] ὑμᾶς
θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις[12] ἄνεσιν[13] μεθ᾽ ἡμῶν, ἐν τῇ 7
ἀποκαλύψει[14] τοῦ κυρίου Ἰησοῦ ἀπ᾽ οὐρανοῦ μετ᾽ ἀγγέλων δυνάμεως
αὐτοῦ, ἐν πυρὶ φλογός,[15] διδόντος ἐκδίκησιν[16] τοῖς μὴ εἰδόσιν θεόν, 8
καὶ τοῖς μὴ ὑπακούουσιν[17] τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ: 9
οἵτινες δίκην[18] τίσουσιν,[19] ὄλεθρον[20] αἰώνιον ἀπὸ προσώπου τοῦ
κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος[21] αὐτοῦ, ὅταν ἔλθῃ 10

[1] Σιλουανός, οῦ, ὁ, Silvanus. [2] Τιμόθεος, ου, ὁ, Timothy. [3] Θεσσαλονικεύς, έως, ὁ, Thessalonian. [4] ὑπεραυξάνω, grow abundantly. [5] πλεονάζω, superabound, make to abound. [6] διωγμός, οῦ, ὁ, persecution. [7] ἀνέχομαι, endure, bear with. [8] ἔνδειγμα, τος, τό, evidence, plain indication. [9] καταξιόω, consider worthy, deem worthy. [10] εἴπερ, if perhaps, if indeed. [11] ἀνταποδίδωμι, recompense, repay. [12] θλίβω, press, oppress. [13] ἄνεσις, εως, ἡ, loosening, relaxation. [14] ἀποκάλυψις, εως, ἡ, revelation, unveiling. [15] φλόξ, φλογός, ἡ, flame. [16] ἐκδίκησις, εως, ἡ, vengeance, vindication. [17] ὑπακούω, obey, listen. [18] δίκη, ης, ἡ, penalty, punishment. [19] τίνω, pay, pay a penalty. [20] ὄλεθρος, ου, ὁ, destruction, death. [21] ἰσχύς, ύος, ἡ, strength, power.

ἐνδοξασθῆναι[1] ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσιν τοῖς
πιστεύσασιν ὅτι ἐπιστεύθη τὸ μαρτύριον[2] ἡμῶν ἐφ᾽ ὑμᾶς ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ. Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς 11
ἀξιώσῃ[3] τῆς κλήσεως[4] ὁ θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν[5]
ἀγαθωσύνης[6] καὶ ἔργον πίστεως ἐν δυνάμει: ὅπως ἐνδοξασθῇ[1] τὸ 12
ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν
χάριν τοῦ θεοῦ ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ.

Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας[7] τοῦ κυρίου ἡμῶν **2**
Ἰησοῦ χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς[8] ἐπ᾽ αὐτόν, εἰς τὸ μὴ ταχέως 2
σαλευθῆναι[10] ὑμᾶς ἀπὸ τοῦ νοός,[11] μήτε θροεῖσθαι,[12] μήτε διὰ
πνεύματος, μήτε διὰ λόγου, μήτε δι᾽ ἐπιστολῆς[13] ὡς δι᾽ ἡμῶν, ὡς ὅτι
ἐνέστηκεν[14] ἡ ἡμέρα τοῦ χριστοῦ: μή τις ὑμᾶς ἐξαπατήσῃ[15] κατὰ 3
μηδένα τρόπον:[16] ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία[17] πρῶτον, καὶ
ἀποκαλυφθῇ[18] ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,[19] ὁ 4
ἀντικείμενος[20] καὶ ὑπεραιρόμενος[21] ἐπὶ πάντα λεγόμενον θεὸν ἢ
σέβασμα,[22] ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ ὡς θεὸν καθίσαι,
ἀποδεικνύντα[23] ἑαυτὸν ὅτι ἐστὶν θεός. Οὐ μνημονεύετε[24] ὅτι ἔτι ὢν 5
πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν; Καὶ νῦν τὸ κατέχον[25] οἴδατε, εἰς τὸ 6
ἀποκαλυφθῆναι[18] αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. Τὸ γὰρ μυστήριον[26] 7

[1] ἐνδοξάζω, glorify. [2] μαρτύριον, ου, τό, testimony, witness. [3] ἀξιόω, consider worthy. [4] κλῆσις, εως, ἡ, (divine) call, invitation. [5] εὐδοκία, ας, ἡ, good pleasure, good-will. [6] ἀγαθωσύνη, ης, ἡ, goodness. [7] παρουσία, ας, ἡ, presence, coming. [8] ἐπισυναγωγή, ῆς, ἡ, meeting, assembling. [9] ταχέως, quickly, soon. [10] σαλεύω, shake, excite. [11] νοῦς, ὁ, mind, reasoning faculty. [12] θροέω, disturb, agitate. [13] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [14] ἐνίστημι, be present, place in or upon. [15] ἐξαπατάω, seduce wholly, deceive. [16] τρόπος, ου, ὁ, manner, way. [17] ἀποστασία, ας, ἡ, apostacy, abandonment. [18] ἀποκαλύπτω, reveal, uncover. [19] ἀπώλεια, ας, ἡ, destruction, ruin. [20] ἀντίκειμαι, lie opposite, i.e. oppose. [21] ὑπεραίρω, raise beyond, uplift. [22] σέβασμα, τος, τό, object of worship. [23] ἀποδείκνυμι, exhibit, display. [24] μνημονεύω, remember, make mention of. [25] κατέχω, hold back, hold fast. [26] μυστήριον, ου, τό, secret, mystery.

ἤδη ἐνεργεῖται[1] τῆς ἀνομίας:[2] μόνον ὁ κατέχων[3] ἄρτι, ἕως ἐκ μέσου
γένηται, καὶ τότε ἀποκαλυφθήσεται[4] ὁ ἄνομος,[5] ὃν ὁ κύριος 8
ἀναλώσει[6] τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει[7] τῇ
ἐπιφανείᾳ[8] τῆς παρουσίας[9] αὐτοῦ: οὗ ἐστὶν ἡ παρουσία[9] κατ' 9
ἐνέργειαν[10] τοῦ Σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασιν[11]
ψεύδους,[12] καὶ ἐν πάσῃ ἀπάτῃ[13] τῆς ἀδικίας[14] ἐν τοῖς ἀπολλυμένοις, 10
ἀνθ'[15] ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι
αὐτούς. Καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν[10] πλάνης,[16] εἰς 11
τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει:[12] ἵνα κριθῶσιν πάντες οἱ μὴ 12
πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες[17] ἐν τῇ ἀδικίᾳ.[14]

Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ 13
ἠγαπημένοι ὑπὸ κυρίου, ὅτι εἵλετο[18] ὑμᾶς ὁ θεὸς ἀπ' ἀρχῆς εἰς
σωτηρίαν ἐν ἁγιασμῷ[19] πνεύματος, καὶ πίστει ἀληθείας: εἰς ὃ 14
ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν[20] δόξης τοῦ
κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. Ἄρα οὖν, ἀδελφοί, στήκετε,[21] καὶ 15
κρατεῖτε τὰς παραδόσεις[22] ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι'
ἐπιστολῆς[23] ἡμῶν.

[1] ἐνεργέω, work, effect. [2] ἀνομία, ας, ἡ, lawlessness, iniquity. [3] κατέχω, hold back, hold fast. [4] ἀποκαλύπτω, reveal, uncover. [5] ἄνομος, lawless, without law. [6] ἀναλίσκω, destroy, consume. [7] καταργέω, make ineffective, abolish. [8] ἐπιφάνεια, ας, ἡ, appearance, appearing. [9] παρουσία, ας, ἡ, presence, coming. [10] ἐνέργεια, ας, ἡ, operative power, working. [11] τέρας, ατος, τό, wonder, portent. [12] ψεῦδος, ους, τό, lie. [13] ἀπάτη, ης, ἡ, deceit, deceitfulness. [14] ἀδικία, ας, ἡ, unrighteousness. [15] ἀντί, instead of, in place of. [16] πλάνη, ης, ἡ, wandering, error. [17] εὐδοκέω, think it good, be well pleased with. [18] αἱρέω, choose, prefer. [19] ἁγιασμός, οῦ, ὁ, consecration, holiness. [20] περιποίησις, εως, ἡ, preservation, acquisition. [21] στήκω, stand, stand fast. [22] παράδοσις, εως, ἡ, tradition, instruction. [23] ἐπιστολή, ῆς, ἡ, letter, dispatch.

Αὐτὸς δὲ ὁ κύριος ἡμῶν Ἰησοῦς χριστός, καὶ ὁ θεὸς καὶ πατὴρ ἡμῶν ὁ 16
ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν[1] αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν
χάριτι, παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι[2] ὑμᾶς ἐν παντὶ 17
λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

Τὸ λοιπόν, προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ κυρίου **3**
τρέχῃ[3] καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς, καὶ ἵνα ῥυσθῶμεν[4] ἀπὸ 2
τῶν ἀτόπων[5] καὶ πονηρῶν ἀνθρώπων: οὐ γὰρ πάντων ἡ πίστις. 3
Πιστὸς δέ ἐστιν ὁ κύριος, ὃς στηρίξει[2] ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ
πονηροῦ. Πεποίθαμεν δὲ ἐν κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν 4
ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσετε. Ὁ δὲ κύριος κατευθύναι[6] ὑμῶν τὰς 5
καρδίας εἰς τὴν ἀγάπην τοῦ θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ χριστοῦ.

Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ 6
χριστοῦ, στέλλεσθαι[7] ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως[8]
περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν[9] ἣν παρέλαβον παρ'
ἡμῶν. Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι[10] ἡμᾶς: ὅτι οὐκ 7
ἠτακτήσαμεν[11] ἐν ὑμῖν, οὐδὲ δωρεὰν[12] ἄρτον ἐφάγομεν παρά τινος, 8
ἀλλ' ἐν κόπῳ[13] καὶ μόχθῳ,[14] νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ
μὴ ἐπιβαρῆσαί[15] τινα ὑμῶν: οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα 9
ἑαυτοὺς τύπον[16] δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι[10] ἡμᾶς. Καὶ γὰρ ὅτε 10

[1] παράκλησις, εως, ἡ, exhortation, consolation. [2] στηρίζω, establish, fix firmly. [3] τρέχω, run, exercise myself. [4] ῥύομαι, rescue, save. [5] ἄτοπος, out of place, unusual. [6] κατευθύνω, lead, direct. [7] στέλλω, arrange, take care. [8] ἀτάκτως, disorderly, unruly. [9] παράδοσις, εως, ἡ, tradition, instruction. [10] μιμέομαι, imitate, emulate. [11] ἀτακτέω, behave inappropriately. [12] δωρεάν, without cost, without cause. [13] κόπος, ου, ὁ, labor, trouble. [14] μόχθος, ου, ὁ, toil, hardship. [15] ἐπιβαρέω, burden weigh down, burden. [16] τύπος, ου, ὁ, mark, example.

ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν ὅτι εἴ τις οὐ θέλει
ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν 11
ὑμῖν ἀτάκτως,[1] μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.[2] Τοῖς 12
δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ χριστοῦ, ἵνα μετὰ ἡσυχίας[3] ἐργαζόμενοι τὸν ἑαυτῶν
ἄρτον ἐσθίωσιν. Ὑμεῖς δέ, ἀδελφοί, μὴ ἐκκακήσητε[4] καλοποιοῦντες.[5] 13
Εἰ δέ τις οὐχ ὑπακούει[6] τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς,[7] τοῦτον 14
σημειοῦσθε,[8] καὶ μὴ συναναμίγνυσθε[9] αὐτῷ, ἵνα ἐντραπῇ,[10] καὶ μὴ 15
ὡς ἐχθρὸν ἡγεῖσθε,[11] ἀλλὰ νουθετεῖτε[12] ὡς ἀδελφόν.

Αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν 16
παντὶ τρόπῳ.[13] Ὁ κύριος μετὰ πάντων ὑμῶν.

Ὁ ἀσπασμὸς[14] τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστιν σημεῖον ἐν πάσῃ ἐπιστολῇ: 17
οὕτως[15] γράφω. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μετὰ 18
πάντων ὑμῶν. Ἀμήν.

[1] ἀτάκτως, disorderly, unruly. [2] περιεργάζομαι, be a busybody, meddler. [3] ἡσυχία, ας, ἡ, stillness, silence. [4] ἐκκακέω, am faint, am weary. [5] καλοποιέω, do what is right, good. [6] ὑπακούω, obey, listen. [7] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [8] σημειόομαι, write, mark. [9] συναναμίγνυμι, associate with, mingle. [10] ἐντρέπω, turn about, reverence. [11] ἡγέομαι, lead, be chief. [12] νουθετέω, admonish, exhort. [13] τρόπος, ου, ὁ, manner, way. [14] ἀσπασμός, οῦ, ὁ, greeting, salutation. [15] οὕτως, thus, so.